καὶ ἄλλως τὴν αἰσθητικὴν καὶ ἄλλως τὴν λογικὴν ἐντελέχειαν εἶναί φαμεν. τὴν μὲν γὰρ φυτικὴν ὡς μορφωτικὴν καὶ διαπλαστικὴν τοῦ τῆς αἰσθητικῆς
B 16 ὀργάνου καὶ λογικῆς, καὶ ὡς χρωμένην αὐτῷ ἁπλούστερόν γε μὴν ἢ κατὰ τὴν αἰσθητικήν τε καὶ λογικήν, καθ' ἣν δὴ καὶ τὰ ἔμψυχα λέγεται ζῆν. τὴν δὲ αἰσθητικὴν ὡς αἴσθησιν τῷ ὀργάνῳ παρεχομένην, καὶ ὡς αὐτῷ χρωμένην ποικιλώτερόν γε ἢ κατὰ τὴν φυτικήν, καὶ ὡς κατὰ τόπον κινοῦσαν, καὶ ἐπὶ τὸ τελειότερον ἄγουσαν, καθ' ἣν δὴ καὶ ζῷον τὸ ἔμψυχον λέγεται. ἁπλῶς δ' ἀμφοτέρας ταύτας οὕτως ἐντελεχείας τοῦ φυσικοῦ καὶ ὀργανικοῦ σώματος καὶ εἴδη διοριζόμεθα ὡς, εἰ καὶ τὸ ἁπλῶς εἶδος τὸ φυσικὸν ἢ καὶ τὸ τεχνητὸν ἐν τῇ προστυχούσῃ ὕλῃ ἐγγίνεσθαι εἴποιμεν οἷον τὸ λίθου καὶ ἀνδριάντος, ἐκείνου ταύτας ὅλας γινομένας, ἀλλ' οὐχ ἐκεῖνο τούτων. τὴν δὲ λογικὴν ὡς ἐπὶ τὸ τελειότατον ἄγουσαν καὶ λογικῶς καὶ χρωμένην καὶ πείθουσαν τὸ
L 106 ὄργανον ζῆν, κοσμοῦσάν τε τὰ πάθη καὶ λόγῳ παιδεύουσαν αὐτὰ πειθαρχεῖν καὶ ἑαυτῆς ποιουμένην ἐκεῖνο, ἀλλ' οὐ ταύτην γινομένην ἐκείνου.

7 Τούτων οὕτως ἐχόντων τὴν μὲν φυτικὴν καὶ τὴν αἰσθητικὴν ἀχωρίστους εἶναι ἀνάγκη, τοιαύτας τε ἐντελεχείας αὐτὰς ὑπάρχειν, μὴ οἵας χωρὶς τοῦ οὗ εἰσιν ἐντελέχειαι εἶναι, ἀλλὰ τῷ σώματι συναπόλλυσθαι τῶν ἐνεργειῶν αὐτῶν ἀχωρίστων οὐσῶν. τί γὰρ ἂν καὶ γεννήσοι ἡ γεννητικὴ χωρισθεῖσα, ἢ ἡ θρεπτικὴ θρέψοι, ἢ αὐξήσοι ἡ αὐξητική; τί δ' ἂν ἡ αἰσθητικὴ κινήσοι κεχωρισμένη; ἢ πῶς ἂν αἴσθοιτο χωρὶς τοῦ σώματος; ὧν δ' αἱ ἐνέργειαι ἀχώριστοι, καὶ αὐτὰς πάντῃ ἀχωρίστους ἀνάγκη εἶναι. τὴν δὲ λογικήν, ἐπειδὴ τῶν ἐνεργειῶν αὐτῆς, ὧν μὲν δηλονότι τοῦ σώματος χάριν αὐτῇ μόνον δεῖ καὶ αἷς οὐχ οἷόν τε χρῆσθαι χωρὶς σώματος, ταύτας ἀχωρίστους τε ἀνάγκη εἶναι καὶ τῷ σώματι συναπόλλυσθαι, ὧν δὲ δεῖ ταύτῃ οὐ τοῦ σώματος μόνον, ἀλλὰ καὶ ἑαυτῆς χάριν καὶ αἷς οἷόν τε χρῆσθαι καὶ χωρὶς σώματος, μᾶλλον δὲ πολλῷ κρεῖττον ἢ μετὰ σώματος, αὗται δ' εἰσὶ τὸ νοεῖν καὶ τὸ βούλεσθαι, ταύτας χωριστάς τε εἶναι καὶ μὴ τῷ σώματι συναπόλλυσθαι, καὶ αὐτὴν ἀνάγκη
B 16ᵛ χωριστὴν εἶναι. τοιαύτην γὰρ αὐτὴν ἐντελέχειαν ὑπάρχειν, οἵαν καὶ χωρὶς τοῦ οὗ ἐστιν ἐντελέχεια εἶναι, καὶ τῷ ὀργάνῳ, ᾧπερ ἐχρῆτο, μὴ συναπόλλυσθαι. ἐπεὶ γάρ ἐστί τις ἐνέργεια ταύτης χωριστὴ σώματος, καὶ αὐτὴν χωριστὴν ἀνάγκη εἶναι καὶ διαμένειν μετὰ τὸν τοῦ σώματος χωρισμόν.

8 Ταῦτ' ἄρα καὶ Ἀριστοτέλης ἀποδοὺς τὸν ὁρισμὸν τῆς ψυχῆς ἐπιφέρει· »ἐνίων δὲ ἡ ἐντελέχεια τῶν μερῶν ἐστιν αὐτῶν«, περὶ τῆς φυτικῆς καὶ αἰσθητικῆς τοῦτο λέγων. »οὐ μὴν ἀλλ' ἔνιά γε οὐδὲν κωλύει« χωριστὰ δηλαδὴ εἶναι, περὶ τῆς λογικῆς τοῦτο λέγων. ἐπεὶ γὰρ ἡ ψυχὴ καὶ πράττει τι χρωμένη τῷ σώματι καὶ θεωρεῖ μὴ δεομένη αὐτοῦ, »οὐδὲν κωλύει«, φησί, μέρη τινὰ χωριστὰ τοῦ σώματος εἶναι »διὰ τὸ μηδενὸς εἶναι σώματος ἐντελεχείας«, κἂν εἰ ἅπασα ἡ ψυχὴ ἐντελέχεια εἴρηται. ἐκώλυε γὰρ ἄν, εἰ καὶ καθ' ὅλην ἑαυτὴν καὶ κατὰ πᾶσαν ἐνέργειαν ἑαυτῆς σώματος ἦν ἐντελέχεια. ἐπεὶ δὲ

6 γε *scripsi* δὲ L B | 7 τελειότερον L τελειώτερον B | 9 εἴδη L ἤδη B | 18 γεννήσοι] γεννήσῃ L B | 19 θρέψοι] θρέψῃ L B | αὐξήσοι] αὐξήσῃ L B | κινήσοι] κινήσῃ L B | 20 αἴσθοιτο L αἴσθοισο B | τοῦ σώματος B] L *om.* τοῦ | 21 ἀνάγκη B *trp. ante* ἀχωρίστους | 24 δεῖ L δὴ B

33 Arist. De Anima β 1. 413a, 5—7. | 36 Arist. De Anima β 1. 413a, 7.

ΙΩΑΝΝΙΝΑ 2006

καθ' ὅλην μέν, οὐ κατὰ πᾶσαν δὲ ἐνέργειαν ἑαυτῆς — οὐ γὰρ δήπου κατὰ τὸν νοῦν· εἴρηται γὰρ ἐν τῷ πρώτῳ χαλεπὸν καὶ πλάσαι, »ποῖον μόριον ἢ πῶς ὁ νοῦς συνέξει« — οὐδὲν κωλύει, φησίν, ἐντελέχειαν μὲν εἶναι, ἔνια δὲ τῶν μερῶν L 106v χωριστά. »ἔτι τε ἄδηλον, φησίν, εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ ὥσπερ ὁ πλωτὴρ πλοίου«, διὰ τούτων ἐναργέστερον δεικνύς, ὅπως ἐντελέχειάν φησι τὴν λογικὴν ψυχήν, ὡς γὰρ πῇ μὲν χρωμένην, πῇ δὲ μηδ' ὅλως. τοιοῦτο γὰρ τὸ τοῦ πλωτῆρος παράδειγμα. εἰ οὖν ἡ αἰσθητικὴ ἡ πάντῃ χρωμένη ἀχώριστος δήπου τῷ χρῆσθαι, ἡ πῇ μὲν χρωμένη, πῇ δὲ μηδ' ὅλως, οἵα τυγχάνει οὖσα ἡ λογική, τὸ μὴ χρώμενον αὐτῆς χωριστὸν ἔσται πάντῃ, οὐκέτι τε χωρισθεῖσα ἐντελέχεια σώματος ἔσται, οὐδέ γε ψυχὴ κυρίως, ὡς οὐδὲ ὁ πλωτὴρ τῆς νεὼς διαφθαρείσης ἔτι πλωτήρ, ἀλλ' ὅλη νοῦς, τῶν οἰκείων καὶ συγγενῶν ἀντιλαμβανομένη τρανώτερον. ἄτοπον δὲ οὐδὲν διὰ τῆς ἐντελεχείας πλεοναχῇ λεγομένης τὸν ὁρισμὸν ἀποδοῦναι τῆς ψυχῆς πλεοναχῇ λεγομένης κἀκείνης. τῶν γὰρ πλεοναχῇ λεγομένων τοὺς ὁρισμοὺς δι' ὁμοίων ἀποδιδόναι προσήκει. τοῦ γὰρ ὑγιεινοῦ τῶν πλεοναχῇ λεγομένων ὄντος — B 17 ὑγιεινὸν γὰρ σιτίον καὶ σφυγμὸν καὶ ἀέρα φαμέν· διὰ τοῦ συμμέτρου πλεοναχῇ λεγομένου τὸν ὁρισμὸν ἀποδίδομεν· ὑγιεινὸν γὰρ λέγοντες τὸ συμμέτρως ἔχον πρὸς ὑγιείαν — διὸ καὶ Ἀριστοτέλης μέλλων ἀποδιδόναι τὸν ὁρισμόν, »εἰ δέ τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ, φησίν, εἰπεῖν« ὡς τοῦ ὅρου ὁλοσχερῶς καὶ τὸν ὑπογραφικὸν ἀποδοθησομένου τρόπον.

Ὡς μὲν οὖν Ἀριστοτέλης ἀθάνατον οἶδε τὴν λογικὴν ψυχήν, καὶ ὡς 9 αὐτὸς παρὰ τὸ πλεοναχῶς ἠπάτησαι, δῆλον. τοῦ δὲ δοκεῖν τισι μήτ' ἐν τοῖς περὶ ψυχῆς μήτ' ἐν τοῖς ἠθικοῖς ἰσχυριζόμενον ἅπτεσθαι Ἀριστοτέλη τοῦ περὶ ψυχῆς ἀθανασίας λόγου, ἀλλ' ἐνδοιάζοντι ἐοικότα, ὃ δὴ καὶ Πλήθων ἐν ὀνείδει προφέρων αὐτῷ φαίνεται, καίτοι τὸ θνητὴν αὐτὸν αὐτὴν δοξάζειν οὐκ εἴρηκε πολλὰ καὶ ταῦτα κατ' αὐτοῦ νεανιευσάμενος, ἀλλὰ καὶ συκοφαντίαν αὐτὸ καλεῖ, αἴτιον τὸ τὰς ἐπιστήμας κατὰ γένη διελόμενον τοὺς προσήκοντας ἑκάστῃ λόγους ἀποδιδόναι πειρᾶσθαι, διακεκριμένην τὴν διδασκαλίαν ποιούμενον σφῶν, ἀλλὰ μὴ μιγνύντα τε καὶ συγχέοντα τὸ τοὺς ἑκάστης ὅρους ὑπερπηδᾶν, πρὸς ἀπαιδεύτου ἡγούμενον.

Ὡς δὴ καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων μορίων πρώτῳ δῆλον 10 ποιῶν »πότερον, φησί, περὶ πάσης ψυχῆς τῆς φυσικῆς ἐστι τὸ εἰπεῖν ἢ περὶ L 107 τινος. εἰ γὰρ περὶ πάσης, οὐδεμία λείπεται παρὰ τὴν φυσικὴν ἐπιστήμην φιλοσοφία«. εἴη γὰρ ἂν πάντων ἡ φυσικὴ γνῶσις, εἴπερ ὁ μὲν νοῦς τῶν νοητῶν ἐστι νοῦς, ὡς καὶ ἡ αἴσθησις τῶν αἰσθητῶν αἴσθησις, τῆς δ' αὐτῆς ἐπιστήμης περὶ νοῦ καὶ τῶν νοητῶν θεωρῆσαι, ἐπειδὴ τῶν πρὸς ἄλληλα θεωρία ἡ αὐτὴ

---

10 κυρίως L κινήσεως B | 11 ὅλη L ὅλως B | 13—14 τὸν ὁρισμὸν . . . λεγομένης B *om.* | 22 ἠπάτησαι L ἠπάτηται B | 24 ἐνδοιάζοντι] ἐνδιάζοντι L ἐνδειάζοντι B | 25 θνητὴν L θνητὸν B

2 Arist. De Anima α 5. 411b, 18. | 3 cf. Arist. De Anima β 1. 413a, 6 sq. | 4 Arist. De Anima β 1. 413a, 8 sq. | 18 Arist. De Anima β 1. 412b, 4. | 32 Arist. Περὶ ζῴων μορίων α 1. 641a, 33—36.

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πάντων. ἐπεὶ τοίνυν ἡ τῶν νοητῶν σκέψις τῆς πρώτης φιλοσοφίας ἐστί, καὶ ἡ περὶ τοῦ νοῦ ἐκείνης ἂν εἴη. ταῦτ' ἄρα οὔτ' ἐν τοῖς περὶ ψυχῆς οὔτ' ἐν τοῖς ἠθικοῖς ἐναργέστερον περὶ τούτου διαλεχθῆναι ἠθέλησεν, τῇ πρώτῃ φιλοσοφίᾳ τὴν τοιαύτην πραγματείαν παρείς. οὐ μὴν οὐδ' οὕτως οὐδένα λόγον περὶ τούτου πεποιημένος οὐδὲ πάντῃ καταλελοιπὼς φαίνεται· ἀλλ' ἐξ ὧν ἔν
B 17ᵛ τε τοῖς περὶ ψυχῆς ἔν τε τοῖς περὶ ζῴων ἐδίδαξεν, ἐρρωμενέστατα ἄν τις ἔχοι τὸ τῆς ψυχῆς ἀποδεικνύναι ἀθάνατον, ὡς δὴ καὶ ἡμῖν ἤδη καλῶς ἀποδέδεικται, ἐξ αὐτῶν λαβοῦσι τῶν Ἀριστοτελικῶν ῥημάτων τὰ λήμματα.

11 Τὸ δ' αὐτὸ κἂν τοῖς περὶ φύσεως ποιεῖ. ἐν γὰρ τῷ δευτέρῳ τὴν φύσιν ποιητικὴν ἐπιστήσας αἴτιον φυσικῷ πρέποντα ποιῶν, ἐν τῷ τελευταίῳ καὶ τὴν ἐξῃρημένην αἰτίαν ζητεῖ — ἣ δέ ἐστι τὸ πρῶτον κινοῦν — οὐ μὴν ὡς ἄσχετον καὶ ἀπόλυτον, ἀλλ' ὡς σχέσιν ἔχουσαν πρὸς τὸ κινητόν, ἀπὸ τῆς κινήσεως ἀναδραμὼν εἰς αὐτήν. τοῦτο γὰρ φυσικοῦ οὐ τὰ ἔνυλα μόνον καὶ κινητά, ἀλλὰ καὶ τὰ ἐξῃρημένα σκέπτεσθαι καὶ ἀκίνητα, οὕτω γε μὴν ὡς σχέσιν ἔχοντα πρὸς τὰ κινητά. ἄνευ γὰρ κινήσεως, ᾗ φησι Θεόφραστος, περὶ οὐδενὸς λεκτέον ἂν εἴη τῷ φυσικῷ. ἐν δέ γε τοῖς μετὰ τὰ φυσικὰ πάντα ὑπεραναβὰς καὶ δι' ἄλλης ἐφόδου τὴν μίαν τῶν πάντων ἀρχὴν καὶ μάλα ἐπιστημονικῆς ἀνευρὼν καὶ προσηκούσης τῇ πρώτῃ φιλοσοφίᾳ ἓν εἶναι αὐτὴν διατείνεται. καὶ ταὐτὸν ἐκεῖ νοῦν τε καὶ νοητὸν καὶ νόησιν εἶναι καὶ οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν. ἐξάψας δ' αὐτῆς πάντα καθάπερ εἴ τινος ἀσφαλεστάτης ἀγκύρας καὶ σεβασθεὶς αὐτὴν ἐνθέως ἀναβοᾷ· »οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος.« οὕτως Ἀριστοτέλης οἰκείως ἑκάστης ἐπιστήμης τοὺς
L 107ᵛ λόγους ἀποδιδοὺς καὶ τὰ φυσικὰ φυσικῶς θεωρεῖ καὶ τὰ θεολογικὰ θεολογικῶς. καὶ τοῖς ἐγκαλοῦσιν αὐτῷ ὡς ἐνδοιαστῶς ἁπτομένῳ, τοῦ γε περὶ ἀθανασίας ψυχῆς λόγου, οὐκ ἐνδίδωσιν, οἷός τε ὢν δεῖξαι σφίσι μηδὲν περαίνουσι κατ' αὐτοῦ. περὶ μὲν οὖν τούτων τοσαῦτα ἀρκεῖ. τὰ δὲ λοιπά σου ἴδωμεν.

**14**, 1 Μιχαῆλος. »Λέγεις σὺ Ἀριστοτέλει συνηγορῶν τὰ ἡμῖν γνωριμώτερα πρῶτα καὶ κυρίως ὄντα εἶναι. τὸ δ' οὐχ οὕτως ἔχει. ἀλλὰ τὰ τῷ νῷ γνωριμώτερα, ἐκεῖνα μᾶλλόν ἐστι τοιαῦτα, ᾗ φησι καὶ αὐτὸς Ἀριστοτέλης ἐν φυσικῇ, ἀντιφάσκειν μὴ αἰσχυνόμενος.«

2 Ἀνδρόνικος. Θεόδωρος τὰ ἡμῖν γνωριμώτερα καὶ πρῶτα κυρίως, ἀλλ'
B 18 οὐ πρῶτα καὶ κυρίως ὄντα φησίν, οὐδ' οὕτω ταῖς χωρισταῖς καὶ θείαις οὐσίαις ταῦτα παραθεωρῶν, ἀλλὰ τοῖς καθόλου, τοῖς γε ἐν τοῖς πολλοῖς. ἧς δὴ καὶ Ἀριστοτέλης δόξης ἐστὶν οὐκ ἐν κατηγορίαις μόνον, ἀλλὰ κἂν τῇ φυσικῇ, οὐκ ἀντιφάσκων ἑαυτῷ, ὡς αὐτὸς ἔμπληκτε οἴει, ἀλλὰ καὶ μάλα σύμφωνος ὤν. νομίσας δ', ὦ κακόδαιμον, ὡς εἰ λάβοις Θεόδωρον κυρίως ὄντα τὰ καθ' ἕκαστα εἰρηκότα, ἐπάξειν ἄτοπόν τι κατ' αὐτοῦ τὴν λέξιν μετέθηκας, ἀλλ' οὐκ ἔλαθες κακουργῶν. δεδόσθω δὲ ὅμως καὶ κυρίως ὄντα τὰ καθ' ἕκαστα

---

17 ἐπιστημονικῆς L ἐπιστημονικῶς B | 28 τῷ νῷ B] L *om.* τῷ

15 Theophrast. ? | 16 cf. Arist. Metaph. λ 6. 7. 1071b—1072a. | 21 Arist. Metaph. λ 10. 1076a, 4 (Hom. Il. B 204). | 27 Mich. Ap. Obiect. c. 4, 1 *(supra p. 166, 15—18).*

Ε.Υ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰρηκέναι, οὐδ' οὕτως ἡμᾶς αἱρήσεις. ἀποδέδεικται γὰρ αὐτῷ καὶ ἡμῖν αὐτοῖς πρότερον τὰ καθ' ἕκαστα πρώτας καὶ κυριωτάτας καὶ μάλιστα οὐσίας ὄντα. σὺ δ' εἰ καὶ ἐνταῦθα ἀντειπεῖν ἐβούλου αὐτῷ, τί οὐ καὶ πρὸς τὸν λόγον ἀπήντας, ᾧ τὰ καθ' ἕκαστα δείκνυσι πρῶτα; ἀλλὰ παρεὶς τὸ ἀντιλέγειν, ἄτοπόν τι οὐδαμῇ προσῆκον ἐπάγεις καὶ Ἀριστοτέλη οὐκ αἰσχύνεσθαι φάσκεις, αὐτὸς ὢν ἀναιδέστατος πάντων. ἐπεὶ οὖν σὺ πρὸς τοῦτο οὐδ' ἀντιβλέψαι ἐτόλμησας, ἡμεῖς αὐτὸ καθάπερ ἀήττητον ἐάσαντες πρὸς τὸ ἄτοπόν σου ἀπαντῶντές φαμεν, ὡς ἄλλως μὲν τὰ καθ' ἕκαστα πρῶτα, ἄλλως δὲ τὰς χωριστὰς καὶ θείας οὐσίας πρώτας φαμέν. τὰ μὲν γὰρ καθ' ἕκαστα, καὶ δι' ἃς ἔφαμεν πρότερον αἰτίας καὶ ἔτι ὡς δι' αὐτῶν πρὸς τὴν τῶν χωριστῶν ἐκείνων καὶ θείων οὐσιῶν ἀναγόμενοι γνῶσιν, πρῶτά φαμεν· τὰς δὲ χωριστὰς οὐσίας, ὡς καὶ φύσει καὶ ἀξιώματι καὶ τῷ αἰτίῳ τῶν τῇδε πολλῷ πρεσβυτέρας L 108 οὔσας καὶ ὡς διακυβερνώσας, τουτὶ τὸ πᾶν. πᾶσα γὰρ ἡ τοῦδε τοῦ κόσμου δύναμις ἐκεῖθεν κυβερνᾶται, ὡς ὁ ἡμέτερος προστάτης Ἀριστοτέλης φησίν.

Μιχαῆλος. »Ἀλλὰ δὴ καὶ πρὸς τόδε ἀπαντητέον. ὧν φῂς πρώτως τὰ 15, 1 συμβεβηκότα κατηγορεῖται, ταῦτα πρότερα εἶναι καὶ κυριώτερα καὶ μᾶλλον ὄντα.«

Ἀνδρόνικος. »Ὧν, φησὶ Θεόδωρος, πρώτως τὰ συμβεβηκότα κατηγορεῖται, 2 ταῦτα πρότερα εἶναι καὶ κυριώτερα καὶ μάλιστα ὄντα«, τοῖς καθόλου καὶ B 18ᵛ ἀχωρίστοις αὐτὰ παραβάλλων, ἀλλ' οὐ τῇ πρώτῃ τῶν πάντων ἀρχῇ. διὸ καὶ ἐπιφέρει· »ὁ γάρ τις ἄνθρωπος περιπατεῖ, οὐχ ὁ ἄνθρωπος, ἀλλ' ἢ κατὰ συμβεβηκός.« σὺ δ' οὕτω μωρὸς εἶ, ὥστε συκοφαντεῖν ἐθέλων ἐπὶ φανεροῖς οὕτω συκοφαντεῖς, ἐφ' οἷς οὐδένα ἂν λήσῃς. ἀλλὰ κἂν ὑπὸ παίδων ἁλοίης συκοφαντῶν καὶ καθάπερ τις μαινόμενος καὶ λυττῶν, δάκνειν μὲν καὶ μάλα ἐπιθυμῶν, μὴ δυνάμενος δέ, εἶτα συνηγορεῖς Πλήθωνι, ὃς οὐδὲν μᾶλλον συνῆκας αὐτοῦ, καθ' ὅτι Ἀριστοτέλους ἐπιλαμβάνεται, ἢ εἰ ἐτύγχανες ὢν λίθος καὶ οὗτος ὑπερμεγέθης. εἰ γὰρ ᾤετο Πλήθων Ἀριστοτέλη, ὥσπερ αὐτὸς ὑπ' ἀναισθησίας οἴει, τὰ καθ' ἕκαστα τῶν χωριστῶν οὐσιῶν κυριωτέρας λέγειν οὐσίας, ῥᾷστα ἂν αὐτὸν καὶ διὰ βραχέων ἐξήλεγξεν. ἀλλ' οὐ τοσοῦτον ἐπόνησεν ἄν, ὥστε καὶ ἀποκαμεῖν. ἀλλ' οὐ τοῦτο αὐτὸν ᾤετο λέγειν, ἀλλ' ὅπερ καὶ ἀληθὲς ἦν, τὸ τὰ καθόλου τά γε ἀχώριστα δευτέρας εἶναι οὐσίας, πρὸς ὃ δὴ καὶ ἁπαντᾷ Πυθαγορείοις ἑπόμενος τοῖς καθόλου τοῖς γε ἀχωρίστοις τὸ πρώτως ὑπάρχειν ἀπονέμουσι, τὸ δ' ἔσχατον ἐν τοῖς μεριστοῖς καταλείπουσιν.

Εἰ μὲν οὖν καὶ ἡ τῶν Πυθαγορείων θέσις οὐκ ἄλογος, ἀλλ' οἷόν τε λόγοις 3 ἐνδόξοις, ἄλλοις τε καὶ οἷς Πλήθων χρῆται, κατασκευάσαι αὐτήν, ἄλλος ἂν εἴη λόγος. ἀλλ' ὅτι γε ἡ πρὸς Ἀριστοτέλη Πλήθωνος διαφορὰ τοιαύτη τίς ἐστι, καὶ τυφλῷ φασι δῆλον. σὺ δ' οὐδὲν τῶν τοιούτων εἰδώς, καθάπερ τις

9 γὰρ B *add.* σὺ | 18 κατηγορεῖται L κατηγορεῖσθαι B | 19 καὶ κυριώτερα L] B *om.* καὶ

15 Mich. Ap. Obiect. c. *4, 2 (supra p. 166, 22 sqq.)*. | 18 Theodor. Adv. Plethonem c. *2, 5 (supra p. 155, 7—10)*.

Ε.Υ.Δ. ... Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σπερμολόγος παρακρούσματα ἄττα καὶ ταῦτα φαῦλα συνειλοχὼς φλυαρεῖς,
L 108v μηδὲν μὲν περαίνων, γέλωτα δὲ μόνον ὀφλισκάνων παρὰ τοῖς ἔχουσι νοῦν. καί μοι δοκεῖ Πλήθων, εἰ περιῆν καί σε συνηγοροῦντα εἶδεν αὐτῷ, παρῄνεσεν ἄν σοι σιγᾶν, ἐκεῖνα τὰ ἰαμβεῖα καὶ μάλ' ἐν δίκῃ εἰπών·

»μέν, ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν δεμνίοις.
ὁρᾷς γὰρ οὐδέν, ὧν δοκεῖς σάφ' εἰδέναι.«

**16,** 1 Περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον. ἴδωμεν δέ σου καὶ ἃ περὶ τῶν εἰδῶν
B 19 φλυαρεῖς, ὡς ἄν σου καὶ ἐξ αὐτῶν τὸ ἀμαθὲς ἐλεγχθῇ. ἐροῦμεν δὴ πρὸς ταῦτα, οὐ τὰ εἴδη ἀναιροῦντες, ἀλλὰ σὲ μηδέν, ἐξ ὧν λέγεις, δεικνύντες περαίνοντα. οὐ γὰρ ἀρκεῖ τὸ τἀληθῆ λέγειν, ἀλλὰ καὶ ἀποδεικνύναι δεῖ, καὶ τοῦτο μετ' ἐπιστήμης. ἐκεῖνο μὲν γὰρ παντὸς καὶ τοῦ τυχόντος, τὸ δ' ἐπιστήμην ἐπαγγελλομένου. πρῶτον οὖν σου τὸ πρῶτον διακωδωνίσωμεν.

2 Μιχαῆλος. »Ἅπαν γενητόν ἐστιν ἀπ' ἀρχῆς αὐτῷ ὁμοίας τῷ εἴδει. τῶν δὲ γενητῶν τὰ πολλὰ ἀπὸ σήψεως γεννᾶται τῆς γῆς οὐχ ὁμοίας οὔσης αὐτοῖς. ἐκεῖνα ἄρα γεννᾶται ἐκ τῶν εἰδῶν ὄντων αὐτοῖς ὁμοίων τῷ εἴδει.«

3 Ἀνδρόνικος. Τουτὶ μὲν οὖν σου καὶ λίαν ἀπαίδευτον. εἰπὼν γὰρ ἅπαν γενητὸν ἀπ' ἀρχῆς αὐτῷ ὁμοίας εἶναι τῷ εἴδει, ἐπάγεις· τῶν δὲ γενητῶν τὰ πολλὰ ἀπὸ σήψεως γεννώμενα οὐκ ἀφ' ὁμοίας αὐτοῖς ἐστιν ἀρχῆς, ἀντίφασιν οὕτω φανερὰν συγχωρῶν. ἀντιφάσκει γὰρ τὸ ὁμοίας τῷ οὐχ ὁμοίας. ἅπαν δὲ ἀνάγκη φάναι ἢ ἀποφάναι. ψευδὲς δὲ καὶ τὸ τὰ πολλὰ τῶν γενητῶν ἀπὸ σήψεως γίνεσθαι. οὐ γὰρ πολλά, ἀλλ' ὀλίγα ἄττα, ὅπου γε ἔνιοι καὶ περὶ τῶν ὀλίγων τούτων ἀμφισβητοῦσιν. ἀλλὰ μὴν τὸ τὰ εἴδη λέγειν τά γε χωριστὰ ὅμοια τῷ εἴδει τοῖς γενητοῖς εἶναι καὶ λίαν ἀναίσθητον. εἰ μὲν γὰρ συνωνύμως τὸ εἶδος ἐκεῖνο τῶν γε εἰδῶν τῶν χωριστῶν καὶ τῶν αἰσθητῶν κατηγορεῖται, καθὸ ὅμοια τὰ νοητὰ τοῖς αἰσθητοῖς φής, εἶδός τε ἔσται εἰδῶν τοῦ γε πρὸ τῶν πολλῶν καὶ τοῦ ἐν τοῖς πολλοῖς, καὶ ἅμα ὁ τρίτος εἰσαχθήσεται ἄνθρωπος, καὶ προσέτι τούτοις τὸ καὶ εἶδος εἰδῶν εἰρηκέναι δέον γένος εἰπεῖν· οὐ γὰρ
L 109 εἴδους, ἀλλὰ γένους τὸ εἶδος εἶδος. ἅμα δὲ καὶ συνώνυμα λέγειν τὰ γενητὰ τοῖς χωριστοῖς Πλήθων οὐ συγχωρεῖ, ὁμώνυμά τε λέγων τίθεσθαι τοὺς ἀξιοῦντας τὰ εἴδη καὶ Ἀριστοτέλη βιαζόμενον καλῶν. εἰ δὲ ὁμωνύμως, πρῶτον μέν πως τὸ ὁμωνύμως κατηγορούμενον εἶδος. οὐδὲ γὰρ οὐδ' ὁ κύων τοῦ τε
B 19v χερσαίου τοῦ τε ἀστρῴου εἶδος, ἀλλ' ὁμώνυμος φωνή. τὸ δὲ καὶ τὰ εἴδη τοῖς γενητοῖς ὅμοια λέγειν, παραδείγματα ὄντα οὖσιν εἰκόσιν, οὐ πάνυ τοι ἐσκεμμένως εἴρηται, δέον μᾶλλον ὁμοίαν φάναι τὴν εἰκόνα τῷ παραδείγματι. ὅλως δὲ κἂν εἰ δοθείη πάντα αὐτῷ ἀτοπώτατα ὄντα, καὶ οὕτως ἀσυλλόγιστα συμπεραίνει. οὐ γὰρ εἰ ἅπαν γενητὸν ἀπ' ἀρχῆς ἐστιν ὁμοίας αὐτῷ εἴδει, τὰ δὲ

---

13 γενητόν L γεννητόν B | 14 γενητῶν L γεννητῶν B | 17 γενητὸν L γεννητὸν B | 17. 20 γενητῶν L γεννητῶν B | 23 γενητοῖς L γεννητοῖς B | 27 προσέτι B πρόσεστι L | 28 γενητὰ L γεννητὰ B | 33 γενητοῖς L γεννητοῖς B | 36 γενητὸν L γεννητὸν B | 36 ὁμοίας L ὁμοίως B

5 Eurip. Orest. 258 sq. | 13 Mich. Ap. Obiect. c. 5, 1 (*supra 167, 4—7*).

Ε.Κ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἴδη ὅμοια τῷ εἴδει τοῖς γενητοῖς, συλλογισμός τις ἔσται ἐξ ἀνάγκης τῷ
ταῦτα εἶναι.

Μιχαῆλος. »Ἔτι πᾶσα γνῶσίς ἐστι περὶ τῶν ἀφθάρτων, ἀναγκαίων ὄν- 17, 1
των τῷ μὴ δύνασθαι ἄλλως ἔχειν. τὰ δὲ φυσικὰ πάντα ἐστὶ φθαρτὰ καὶ μετα-
βλητά, συμβεβηκότα ὄντα τῷ ἄλλως ἔχειν δύνασθαι. ἡ γνῶσις ἄρα οὐκ ἔσται
περὶ τῶν φυσικῶν καὶ φθαρτῶν, ἀλλὰ τῶν ἀφθάρτων πέρι. ἅπερ εἰσὶν αἱ
ἰδέαι.«

Ἀνδρόνικος. Περὶ τῶν ἀφθάρτων καὶ ἡμεῖς τὴν ἐπιστήμην φαμέν· τὴν 2
γὰρ ἐπιστήμην οἶμαί γε γνῶσιν ἐνταῦθα καλεῖν. ἐξ ἀναγκαίων γὰρ καὶ ἀϊδίων
καὶ οὐκ ἐνδεχομένων ἄλλως ἔχειν ἡ ἀπόδειξις, ᾗ τὴν ἐπιστήμην κτώμεθα.
οὐ μὴν διὰ τοῦτο καὶ τὰς ἰδέας ἀνάγκη τίθεσθαι, ἅμα μὲν ὁμωνύμως τῶν
καθ' ἕκαστα κατηγορουμένας, ὥστε καὶ κτησαμένοις τὴν ἐπιστήμην ἐκείνων
οὔπω τὴν τῶν φυσικῶν ἐπιστήμην συμβήσεται κτήσασθαι, ἅμα δὲ καὶ τῷ
τὰ καθόλου, τά γε ἐν τοῖς πολλοῖς συνωνύμως κατ' αὐτῶν κατηγορούμενα,
ἱκανὰ πρὸς ἐπιστήμην ὑπάρχειν, ἄφθαρτα ὄντα καὶ ταῦτα καὶ οὐκ ἐνδεχόμενα
ἄλλως ἔχειν τῷ τε διαμένειν ἀεί. ἕως γὰρ ἂν ᾖ τὸ πᾶν, ἄνθρωπος ἔσται καὶ
ἵππος καὶ βοῦς τῷ τε τὰς ὁλότητας ἀφθάρτους ἔχειν, κἂν ἔχῃ τὰ μέρη φθαρτά.
ἄτοπον δὲ οὐδὲν τίθεσθαί τι τοιοῦτον· τὰ γὰρ ἁπλᾶ σώματα, ἃ στοιχεῖά
φαμεν, τὰς ὁλότητας ἀφθάρτους ἔχοντα τὰ μέρη γε μὴν ἔχει φθαρτά. εἰ δὲ L 109v
καὶ διὰ τὸ μηδέποτε φθαρήσεσθαι ἀΐδιά τις φαίη τὰ καθόλου, εὔλογά τε φήσει
καὶ Πλάτωνι συνῳδά. ὃς ἐν τῷ Τιμαίῳ τοὺς θεούς φησιν »ἀθανάτους μὲν
οὐκ εἶναι οὐδ' ἀλύτους τὸ πάμπαν, οὔ τι γε μὴν λυθήσεσθαί γε οὐδὲ τεύξεσθαι
θανάτου μοίρας«.

Εἰ δὴ τὰ καθόλου τοσαυταχῇ λέγειν ἐνδέχεται ἀΐδια, ἡ δὲ ἀπόδειξις ἐκ 3 B 20
τοιούτων, ᾗ τὴν ἐπιστήμην κτώμεθα, οὐκ ἀνάγκη, εἴπερ ἐστὶν ἐπιστήμη,
καὶ τὰ χωριστὰ εἴδη τιθέναι. ἀλλὰ καὶ τῶν εἰδῶν μὴ ὄντων τῶν χωριστῶν
ἐπιστήμη οὐκ ἀναιρεῖται· ἀλλὰ μὴν εἰ ὧν εἰσιν ἀρχαὶ καὶ αἴτια γνωριστικά,
τούτων ἐπιστήμην εἶναι χρή· τῶν δὲ φυσικῶν εἰσιν ἀρχαὶ καὶ αἴτια γνωριστικά,
καὶ τούτων δήπου ἐπιστήμην εἶναι ἀνάγκη. χωρὶς δὲ τούτων εἰ τὴν ἐπιστήμην
περὶ τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων εἶναί φαμεν, τῇ δὲ περὶ φύσεως πραγ-
ματείᾳ περὶ τοῦ κινητοῦ ὄντος ᾗ τοιοῦτον ἡ σκέψις ἐστί — τοῦτο δὲ ἀεὶ ᾗ
τοιοῦτον ὡσαύτως ἔχει — καὶ τὴν περὶ θέσεως θεωρίαν ἐπιστήμην ἀνάγκη
εἶναι. ὅτι δὲ τὸ κινητὸν ὂν ᾗ τοιοῦτο τῇ φυσικῇ ὑποκείμενον, δῆλον ἐξ ὧν
τε τὴν φύσιν ἀρχὴν κινήσεως ὁριζόμεθα, ἐξ ὧν τε Θεόφραστός φησι περὶ
οὐδενὸς ἄνευ κινήσεως λεκτέον εἶναι τῷ φυσικῷ. εἰ δέ τις τὴν περὶ φύσεως
ἐπιστήμην φιλονεικῶν ἀναιρεῖ διὰ τὴν ἐν τοῖς φυσικοῖς μεταβολήν, τὴν Ἡρα-
κλείτου θέσιν ἢ καὶ τὴν Κρατύλου συμβήσεται λέγειν αὐτῷ, τοῦ μὲν δὶς ἐν
τῷ αὐτῷ ποταμῷ μὴ οἷόν τε ἐμβῆναι εἰπόντος, Κρατύλου δὲ μηδὲ ἅπαξ. εἰ

1 γενητοῖς L γεννητοῖς B | 9 γὰρ L τε B | 24 λέγειν L] B *corr.* λέγειν *ex* λέγοντα | 30 περὶ τῶν L περὶ ὧν B | 33 φυσικῇ L φύσει B | 38 μηδὲ L μὴ B

3 Mich. Ap. Obiect. c. 5, 2 *(supra p. 167, 7—10)*. | 21 Plat. Tim. XIII, 41b. | 37 cf. Plat. Cratyl. 402a. | 38 cf. Arist. Metaph. γ 5. 1010a, 7 sqq.

Π.Υ. Αντής Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ καὶ διὰ τὸ ἀριθμῷ μεταβάλλειν οὐκ ἐπιστησόμεθα, διὰ τὸ εἴδει μὴ μετα-
βάλλειν ἐπιστησόμεθα. τὸ δὲ καὶ τὰ φυσικὰ πάντα φθαρτὰ λέγειν ἠλίθιον
πάντῃ. τά τε γὰρ οὐράνια σώματα ἀΐδια πάντως καὶ ἄφθαρτα. τά τε ἁπλᾶ
σώματα, ἃ στοιχεῖά φαμεν, κἂν τὰ μέρη φθαρτὰ ἔχῃ, ἀφθάρτους γε μὴν
τὰς ὁλότητας ἔχει. καίτοι πολὺ κάλλιον ἦν διὰ ταῦτα μέγιστα μέρη τοῦ κόσμου
ὄντα καὶ τἆλλα μικρὰ ὄντα φθορᾶς ἀπολύειν ἢ διὰ ταῦτα καὶ τῶν μεγίστων
καταγινώσκειν φθοράν. τὸ δὲ καὶ συμβεβηκότα λέγειν τὰ φυσικὰ πάντα οὐχ
ὑγιαίνοντος ἦν. τίνι γὰρ καὶ συμβήσεται; τὸ γὰρ συμβεβηκὸς τῶν πρός τι.
L 110 ἀλλὰ μὴν εἰ καὶ δοθείη τὸ τῶν φυσικῶν ἐπιστήμην μὴ εἶναι, τὰ διανοητά
— ταῦτα δ' εἰσὶ τὰ μαθηματικά — ἐπιστητὰ δήπου θήσουσι. καίτοι οὔτε ἡ
ἀριθμητικὴ τὸν αὐτοαριθμὸν θεωρεῖ, ἀλλὰ τὸν μαθηματικὸν ἀριθμόν, οὔθ'
B 20v ἡ γεωμετρία τὸ αὐτομέγεθος, ἀλλὰ τὸ μαθηματικόν. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν
ἄλλων. ἐπιστῆμαι δὲ πάντως αὗται, εἰ μὴ σύ γε, ὦ λῷστε, ἄλλως ἀξιοῖς.

4 Εἰ δέ τις διὰ τὸ τὴν τῶν νοητῶν ἐπιστήμην βελτίω εἶναι πολλῷ τῶν
ἄλλων ἐπιστημῶν ταύτην μόνην ἐπιστήμην καλεῖ, τὰς δ' ἄλλας οὐκ ἀποδέχεται,
τὸ μὲν τὴν ἐπιστήμην ἐκείνην βελτίω εἶναι καὶ ἀκριβεστέραν καὶ ἡμεῖς τιθέ-
μεθα, ἀνωτέραν τε πασῶν τῶν ἄλλων οὖσαν ἐπιστημῶν καὶ μάλιστα ἐπιστήμην
καὶ θείαν. τό τε γὰρ ὑποκείμενον, περὶ ὃ πραγματεύεται, νοητὸν καὶ θεῖόν
ἐστιν, ταῖς τε ἀρχαῖς ἁπλουστέραις πολλῷ χρῆται, τό τε εἶδος τῆς γνώσεως
ἀκριβέστερον ἔχει τῶν ἄλλων, κἂν ἡ μὲν τῷ ὅτι ὡς ἐπὶ τὸ πολύ, αἱ δὲ πολλαὶ
τῶν μαθηματικῶν τῷ διότι χρῶνται. καίτοι περὶ τούτου ἀπορήσειεν ἄν τις·
ἀλλ' ἔστω νῦν ἐκείνης τὸ ὅτι τοῦ διότι τῶν ἄλλων ἀκριβέστερον. οὐ μὴν διὰ
τοῦτο ἀπαξιώσομεν μὴ οὐ καὶ τὰς ἄλλας, ἃς ἔφην, ἐπιστήμας καλεῖν, εἰ μὴ
σύ γε ταύτας ὑπὸ πλούτου σοφίας ἐκ τοῦ σοῦ βιβλίου διέγραψας. ὁ δ' ἐν πολι-
τείαις Σωκράτης· ὄμμα φησὶ ψυχῆς ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων ἀπο-
τυφλούμενον καὶ κατορυττόμενον, διὰ τούτων μόνων, τῶν μαθηματικῶν
δηλαδή, ζωπυροῦται καὶ ἀνεγείρεται μυρίων ὂν κρεῖττον σωθῆναι σωματικῶν
ὀφθαλμῶν.

5 Ἀλλ' ἴσως σὺ τῷ βελτίω τὴν σοφίαν εἶναι τῶν ἄλλων ἐπιστημῶν τὰς
ἄλλας οὐκ ἐθέλεις ἐπιστήμας ἀξιοῦν. οὐ γὰρ οἶσθα σὺ τῶν ἐπιστημῶν ἄλλην
ἄλλης κατὰ πλείους τρόπους ἀκριβεστέραν τε οὖσαν καὶ προτέραν, ἐπιστήμας
γε μὴν ἁπάσας. ἥ τε γὰρ τῷ διότι χρωμένη τῆς τῷ ὅτι ἀκριβεστέρα ἐστίν,
ἥ τε νοητὸν ἔχουσα τὸ ὑποκείμενον τῆς αἰσθητὸν ἐχούσης, ἥ τε ταῖς ἀρχαῖς
ἁπλουστέραις χρωμένη τῆς μετὰ προσθήκης τινός. ὧν αὐτὸς οὐδὲν εἰδὼς
ἐξελαύνεις μὲν φυσικήν, καταφρονεῖς δὲ τῶν μαθηματικῶν. ὥσπερ δὲ αὐτὸς
οὐρανὸν ὑπεραναβὰς καὶ τοῦ Διὸς γενόμενος ὀπαδὸς τὸν μυστικὸν Ἴακχον
L 110v τοῖς περὶ ἐκεῖνον συγχορεύων θεοῖς, ἡμεῖς τε τοὺς ἀνθρώπους ἐφημέρους
B 21 καλεῖς καὶ περιφρονεῖς οὐ τὸν ἥλιον μόνον, ἀλλὰ καὶ τὴν ἄναστρον σφαῖραν
αὐτήν.

---

1 οὐκ ἐπιστησόμεθα ... μεταβάλλειν L] B *om.* | 27 σωθῆναι L] B *om.*

25 cf. Plat. Pol. VII. 533d.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλὰ μὴν εἰ καὶ τὰς μαθηματικὰς διαγράψομεν, οὐδ' οὕτως ἀνάγκη 6
δι' αὐτὸ τὰ εἴδη τιθέναι. οὐ γάρ, εἰ τῶν μὲν ἀφθάρτων μόνων ἐπιστήμη ἐστί,
τὰ δὲ εἴδη ἄφθαρτα, συλλογισμός τις ἔσται. ἐν γὰρ δευτέρῳ σχήματι κατη-
γορικὸς οὐκ ἔστι συλλογισμός, εἰ μὴ ἐν τοῖς ἀντιστρέφουσιν. ὅπερ ἐνταῦθα
οὐκ ἔστιν. οὐ γάρ, εἴ τι ἰδέα, ἄφθαρτον καί, εἴ τι ἄφθαρτον, ἰδέα. πολλὰς
γὰρ καὶ ἄλλας οὐσίας οἱ περὶ Πλάτωνα — τὸν γὰρ Ἀριστοτέλη σοῦ χάριν
ἐῶ — νοητὰς καὶ νοερὰς παρὰ τὰς ἰδέας τίθενται, καὶ πρὸ τῶν εἰδῶν τὸ αὐτοόν
καὶ πρό γε ἐκείνου τὸ αὐτοέν. τὸ γὰρ πρῶτον κατὰ Πρόκλον οὐκ ὄν, ἀλλ'
ἓν μόνον. ὥστε καὶ τῶν εἰδῶν μὴ ὄντων, αὐτῶν γε μὴν ἐπιστήμη ἔσται
ἀφθάρτων τε ὄντων καὶ ἀϊδίων. οὐκ ἄρα ἐξ ὧν ὑπέθου, ἐξ ἀνάγκης ὃ βούλει
συμβαίνει τῷ ταῦτα εἶναι.

Ἴσως οὖν νεμεσήσουσιν ἡμῖν πλεῖστοι· τοιαῦτα πρὸς σὲ λέγουσιν, ἄνθρωπον 7
ἀμαθῆ τε καὶ βέβηλον. ταὐτὸν γάρ ἐστιν, ὡς εἰ καὶ πρὸς ἀγεωμετρήτους
ἀποδείξεσιν ἂν ἐχρώμεθα γεωμετρικαῖς. συγγνώσονται δὲ ὅμως, ἅτε οὐ σοῦ
γε χάριν τοῦ ἀμαθοῦς, ἀλλὰ τῶν ἐντυγχανόντων τῷ βιβλίῳ, ὡς δή τοι λόγου
ἄξιον ἔχοιεν ἂν ἰδεῖν ἐν αὐτῷ, βαθυτέρων τε ἁπτομένοις ζητημάτων καὶ τὴν
σὴν ἕξιν ὑπερβαλλόντων καὶ τὸν λόγον ἔσθ' ὅτε μηκύνουσι. τούτοιν μὲν οὖν
σου τοῖν δυοῖν λόγοιν ὁ μὲν πρῶτος ἀναίσθητόν σε ἀπέδειξεν, ὁ δὲ ἕτερος
οὐδὲν συμπεραίνει. ἴδωμεν δέ σου καὶ τοὺς λοιπούς.

Μιχαῆλος. »Καὶ μὴν καὶ τὸ ἐπὶ πλέον ἅπαν οὐκ ἀντιστρέφει διὰ τὸ τῶν **18,** 1
οὐκ ἀντιστρεφομένων τὸ ἕτερον πλείω περιέχειν καθολικώτερον ὄν. τὰ δὲ
γένη καὶ τὰ εἴδη τῶν ἐπὶ πλέον ὄντα καὶ καθολικώτερα περιέχει τὰ καθ'
ἕκαστα ἐλάττω ὄντα καὶ μερικώτερα. τὰ ἄρα εἴδη πρῶτα καὶ κυριώτερα
τῶν καθ' ἕκαστα.«

Ἀνδρόνικος. Οὐδ' ἐνταῦθα ἐξ ἀνάγκης ἐκ τῶν τεθέντων τῷ ταῦτα εἶναι 2
συμβαίνει τὸ τὰ εἴδη πρῶτα καὶ κυριώτερα τῶν καθ' ἕκαστα εἶναι, ἀλλὰ τὸ B 21ᵛ
μὴ ἀντιστρέφειν μόνον. ὃ δὴ καὶ ἡμεῖς συγχωροῦμεν, ἢν περὶ τῶν ἐν τοῖς
πολλοῖς καθόλου λέγῃς. εἰ δὲ περὶ τῶν χωριστῶν εἰδῶν, οὐ μόνον οὐδέν, L 111
ὡς εἴρηται, συμπεραίνεται, ἀλλὰ καὶ θάτερον τῶν λημμάτων ψευδές. οὔτε
γὰρ οὕτω καθόλου τὰ εἴδη φασὶν οἱ κομίσαντες, ὡς τῶν καθ' ἕκαστα περιεκ-
τικά, ἀλλ' ᾗ πλεῖστα μερικὰ τῇ μεθέξει ἐκείνων τοιαῦτα λέγεται. οἱ γὰρ
καθ' ἕκαστα ἄνθρωποι τῇ τοῦ αὐτανθρώπου μεθέξει ἄνθρωποι. καὶ ἅμα, εἰ
καὶ δώσει τις τοῦτο, χαλεπὸν καὶ πλάσαι, πῶς περιέξει. εἰ μὲν γὰρ δυνάμει,
ἄτοπον· ἀτελέστερα γὰρ τῶν καθ' ἕκαστα ἔσται ἐνεργείᾳ ὄντων, δυνάμει γε
ἐκεῖνα ὄντα. εἰ δ' ἐνεργείᾳ, γελοῖον· αἰσθητὰ γὰρ ἔσται καὶ σωματοειδῆ καὶ
ἄπειρον ἕκαστα, ἐξ ἀπείρων τῶν κατὰ μέρος συγκείμενον. οὕτω σύ, Κρόνε,
τὰ Πλάτωνος οἶσθα, Πλάτωνι συνηγορῶν.

---

2 οὐ γάρ L εἰ γάρ B | 8 πρό γε L πρὸ τοῦ γε B | 19 ἴδωμεν δὲ L ἴδωμεν οὖν B | 32 αὐτανθρώπου L αὐτοανθρώπου B

20 Mich. Ap. Obiect. c. 5, 3. *(supra p. 167, 11—14)*



Εργ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

19, 1 Μιχαῆλος. »Καὶ μὲν δὴ τὰ εἴδη τῶν κατὰ φύσιν εἶναι ὁρίζονται αἰώνια παραδείγματα. τὸ δ' ὂν αἰωνίως ὑφέστηκε. πᾶν δὲ τὸ ὑφεστηκὸς παράδειγμα καὶ αἰώνιον πρῶτον καὶ μᾶλλον ὂν τῶν εἰκόνων. τῶν τοίνυν καθ' ἕκαστα μᾶλλον οὐσίαι τὰ εἴδη.«

»Καὶ τὸ ἀεὶ δὲ ὂν τοῦ παρὰ μέρος ὄντος μᾶλλον ὑπάρχον. τὸ οὖν εἶδος ἀεὶ ὂν τυγχάνει. τὰ δὲ καθ' ἕκαστα φθείρεται παρὰ μέρος, καὶ αὐτῶν ἡ παρὰ μέρος ἐνέργεια. δῆλον ἄρα τὸ λῆγον.«

2 Ἀνδρόνικος. Ἐν τούτοις ἄμφοιν τοῖν λόγοιν τὸ ἐν ἀρχῇ διαρρήδην αἰτεῖς. λαβὼν γὰρ τὸ αἰώνιον ὑφεστηκὸς καὶ τὸ ἀεὶ ὂν μᾶλλον εἶναι οὐσίας τῶν καθ' ἕκαστα καὶ φθειρομένων, καὶ προσλαβὼν τὸ τὰ εἴδη αἰώνιά τε καὶ ἀεὶ ὄντα εἶναι, ὅπερ οὐ δίδοται, οὐ συμπεραίνεις καὶ μᾶλλον οὐσίας εἶναι αὐτά. ἡμεῖς δέ σοί φαμεν, ὡς ἐὰν μὲν δείξῃς τὰ εἴδη εἶναι, ἡμεῖς σοι παραχρῆμα δώσομεν μᾶλλόν τε οὐσίας καὶ κυριωτέρας εἶναι. ἀνάγκη γάρ, ἕως δ' ἂν μήτ' αὐτὸς οἷός τε ᾖς δεῖξαι, μήθ' ἡμεῖς διδῶμεν, τὸ ἐν ἀρχῇ αἰτεῖς λαμβάνων τὸ ζητούμενον ὡς ὁμολογούμενον.

20, 1 Μιχαῆλος. »Ἀλλὰ μὴν καὶ τὸ γινόμενον ἅπαν τέτρασιν αἰτίοις γίνεσθαι πέφυκε, ποιητικῷ αἰτίῳ πρώτως, εἰδικῷ ἑπομένως, ὑλικῷ ἀκολούθως, τελικῷ ἐφεξῆς. τὰ δὴ οὖν καθ' ἕκαστα τῶν γιγνομένων εἶναι λέγεται — γίγνεται δὲ ἐξ ὧν ἔφαμεν — ὕστερα ὄντα πρώτων ὄντων, καὶ ἔτι τοῦ εἴδους πρώτου γε ὄντος τῆς ὕλης, καθ' ὁποτερονοῦν ἂν εἴποις σημαινόμενον τοῦ προτέρου. δῆλον ἄρα τὸ λῆγον.«

2 Ἀνδρόνικος. Πρῶτον μὲν τοῦτό σοι οὐ κατὰ Πλάτωνα εἴρηται, τέσσαρα
B 22 τὰ αἴτια τιθεμένῳ. Ἀριστοτέλους γὰρ τοῦτο. οἱ δὲ περὶ Πλάτωνα καὶ ἕτερα δύο προστιθέασι παραδειγματικόν τε καὶ ὀργανικόν. ἔπειτα τὸ ποιητικὸν οὐχ ἁπλῶς πρῶτον. τῇ γὰρ ἐπινοίᾳ πρῶτον τὸ τελικόν. ὁ γὰρ οἰκοδόμος προ-
L 111v ἐπινοήσας, οἵαν δεῖ τὴν οἰκείαν οἰκοδομῆσαι, οἰκοδομεῖ. ψευδὲς δὲ καὶ τὸ τὸ εἶδος τῆς ὕλης πρῶτον λέγειν κατὰ πάντα τοῦ προτέρου τὰ σημαινόμενα· τῷ γὰρ ἀξιώματι μόνον πρῶτον, ἀγαθόν τε ὂν καὶ θεῖον καὶ ἐφετόν, τῷ χρόνῳ δὲ ἢ τῇ τάξει ἢ τοῖς ἄλλοις τοῦ προτέρου σημαινομένοις τὸ πρῶτον. ἁπλῶς δὲ πρὸς τὸ ἐπιχείρημα, τὸ μὲν ἅπαν τὸ γινόμενον τέτρασιν αἰτίαις γίνεσθαι ἀληθὲς καίτοι τῶν ἀπὸ σήψεως ἢ καὶ ἀπὸ ταὐτομάτου καὶ τύχης γινομένων, ἀπορήσειεν ἄν τις.

3 Ἀλλ' ἔστω τοῦτο νῦν ἀληθές, οὐκ ἀμφισβητῶ. τὸ δὲ τὰ καθ' ἕκαστα τῶν γινομένων εἶναι, εἰ μὲν περὶ τῶν γενητῶν καὶ φθαρτῶν τοῦτο λέγεις, ἀληθές, εἰ δὲ περὶ τῶν ἀϊδίων, λέγω δὴ περὶ τῶν οὐρανίων σωμάτων, ψευδές. ἀγένητα γὰρ ἐκεῖνα καὶ ἄφθαρτα ἐν τοῖς περὶ οὐρανοῦ ἀποδέδεικται. τό γε

3—4 πρῶτον . . . εἴδη *supplevi sec. loc. cit.*] καὶ ἑξῆς L B | 6—7 τὰ δὲ καθ' ἕκαστα . . . λῆγον *supplevi sec. loc. cit.*] καὶ ἑξῆς L B | 11 καὶ μᾶλλον L] B *om.* καὶ | 14 ᾖς L ἧ B | 18—22 εἶναι . . . λῆγον *supplevi sec. loc. cit.*] L B *om.* | 34 γενητῶν L γεννητῶν B

1 Mich. Ap. Obiect. c. 5, 4. *(supra p. 167, 15—18)* | 5 Mich. Ap. Obiect. c. 5, 5. *(supra p. 167, 19—21)* | 16 Mich. Ap. Obiect. c. 5, 6. *(supra p. 167, 22—26.)*

Βιβλ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μὴν ἐκ πρώτων ὄντων τῶν καθόλου γίνεσθαι τὰ καθ' ἕκαστα ὕστερα ὄντα, εἰ μὲν περὶ τῶν χωριστῶν λέγεις εἰδῶν — περὶ γὰρ αὐτῶν φαίνῃ τὸν λόγον ποιούμενος — οὔπω ἔδειξας εἶναι ταῦτα. ὥστε πῶς ἔσται πρῶτα; εἰ δὲ περὶ τῶν ἐνύλων λέγεις εἰδῶν, ἢ ψευδῆ λαμβάνεις, ἢ ἀσυλλόγιστος ὁ λόγος ἐστί. ψευδῆ μέν, εἰ τὰ καθόλου φύσει πρῶτα ὄντα ἁπλῶς πρῶτα λαμβάνεις, τῶν καθ' ἕκαστα καὶ ὡς πρὸς ἡμᾶς πρώτων ὄντων καὶ ὡς ἐν αὐτοῖς τῶν καθόλου τὸ εἶναι ἐχόντων· ἀσυλλόγιστος δέ, εἰ τὰ καθόλου τῇ φύσει πρῶτα λαβών, ἔπειτα τὸ ἁπλῶς πρῶτα ἀντὶ τοῦ φύσει πρῶτα μεταλαμβάνεις, παρὰ τό πῃ καὶ ἁπλῶς ἀπατώμενος. ὥστε πῶς δῆλον φὴς τὸ λῆγον, ὦ πάντα σὺ τολμῶν, οὕτω περιφανῶς παραλογιζόμενος;

Μιχαῆλος. »Ἔτι γε μὴν δυοῖν τούτοιν ὄντοιν νοῦ καὶ αἰσθήσεως τὸν νοῦν 21, 1 ἅπας ὁ τῶν φιλοσόφων δῆμός φασι πρῶτον εἶναι καὶ κυριώτερον καὶ μᾶλλον B 22v ὄν, καθότι ὁ μὲν ἀεὶ ὢν τήν τε τῶν νοητῶν πάντων καὶ τῶν αἰσθητῶν κατάληψιν ἔχει, ἡ δὲ τῶν αἰσθητῶν μόνων θνητὴ οὖσα θνητῶν ὄντων. ὅσῳ τοίνυν τὸ νοητὸν τοῦ αἰσθητοῦ κυριώτερον, καὶ πάλιν τοῦ αἰσθάνεσθαι τὸ νοεῖν, τοσούτῳ καὶ τὰ εἴδη συγγενῆ αὐτῷ ὄντα πρῶτα καὶ κυριώτερα τῶν καθ' ἕκαστα αἰσθητῶν καὶ μεταβλητῶν ὑπαρχόντων.«

Ἀνδρόνικος. Ἐκεῖνό μοι πρῶτον φράσον, ὦ λῷστε, πῶς ὁ νοῦς τῶν 2 νοητῶν πάντων καὶ αἰσθητῶν κατάληψιν ἔχει, πῶς δ' ἡ αἴσθησις μόνων τῶν αἰσθητῶν θνητὴ οὖσα θνητῶν. εἰ γὰρ θνητοῦ τὸ τῶν θνητῶν ἔχειν κατάληψιν, καὶ ὁ νοῦς θνητὸς ἂν εἴη, ἢ κατάληψιν ἔχει τῶν αἰσθητῶν θνητῶν γε ὄντων. ἔπειτα οὐχ ἁπλῶς τὰ αἰσθητὰ θνητά. ἀλλὰ τὰ γενητὰ μόνον καὶ φθαρτά. τὰ γὰρ οὐράνια αἰσθητὰ ὄντα, ἀΐδια ὅμως ἐστί. πῶς δὲ καὶ τὰ συγγενῆ τῷ νῷ μᾶλλον οὐσίαι; εἰ μὲν γὰρ ὑφέστηκεν, ἀληθές. εἰ δ' οὐχ ὑφέστηκε, L 112 πῶς; τὰ γὰρ ἐν ἄλλοις ὑπάρχοντα πῶς ἂν μᾶλλον οὐσίαι εἶεν τῶν, ἐν οἷς ὑπάρχει, καθ' αὑτὰ ὄντων; εἰ οὖν περὶ τῶν ὑφεστώτων λέγεις εἰδῶν, τὸ ἐν ἀρχῇ πάλιν αἰτεῖς. οὔπω γὰρ ἔδειξας εἶναι ταῦτα. ὥστε μὴ ματαιολόγει.

Μιχαῆλος. »Πάνυ τοι ὀρθῶς φάσκει καὶ τῇ τοῦ Πλάτωνος ἀξίως καὶ 22, 1 ἑαυτοῦ ἐπιστήμῃ. εὖ γε, ὦ Πλήθων, ὡς ἄμαχός σοι ὁ λόγος, καὶ τῆς Ἀριστοτέλους σοφίας πολλῷ τῷ μέσῳ προέχων.«

Ἀνδρόνικος. Εἰ μὲν ἄμαχος ἢ οὐκ ἄμαχος, αὐτόφασι δείξει. ἐκεῖνο δέ 2 μοι λέγε, τίσι τῶν παλαιῶν Πλάτων Ἀριστοτέλους σοφώτερος ἔδοξεν, ὅπου τῶν μὲν θεμένων τῷ Πλάτωνι οἱ πλείους καὶ βελτίους τὰ Ἀριστοτέλους μετ' ἀκριβείας ὑπεμνημάτισαν, τῶν δ' Ἀριστοτέλει θεμένων ἔνιοι Πλάτωνι καὶ ἀντεῖπον. οὕτω δ' ἀχάλινον ἴσχει τὸ κάθαρμα στόμα καὶ γλῶσσαν ἀκόλαστον, καὶ οὕτω τούτοις ἑαλώκει τοῖς πάθεσιν, ὥστε λόγοις μέν, οὐ δ' οἱστισινοῦν πρὸς ἀπόδειξιν χρῆται τοῦ ζητουμένου. κἂν χρήσηται δέ, παραλογίζεται

13—17 καὶ τῶν αἰσθητῶν . . . ὑπαρχόντων *supplevi sec. loc. cit.*] L B *om.* | 23 καὶ φθαρτὰ L] B *om.* καὶ | 26 καθ' αὑτὰ L καὶ καθ' αὑτὰ B | 31 αὐτόφασι L B | 36 οἱστισινοῦν L οἷς τισινοῦν B

11 Mich. Ap. Obiect. c. 5, 7. *(supra p. 167, 27—33)* | 28 Mich. Ap. Obiect. c. 6, 2. *(supra p. 168, 4—6)*



Ε.Γ.Δ.Ιω. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μᾶλλον, ἢ συλλογίζεται. αὐτός τε ὑπ' ἀμαθίας ἀπατώμενος ῥᾷστα καὶ τοὺς ἄλλους φενακίζειν καὶ λίαν ἐπιθυμῶν, ὑβρίζων δ' εἰς Ἀριστοτέλη τὸν θεῖον οὕτω τοι ἰταμῶς, ψευδεῖς καὶ ἀσυμβλήτους τοὺς σοφωτάτους ἐκείνου λόγους B 23 καλῶν καὶ Πλήθωνα σοφώτερον αὐτοῦ λέγειν τολμῶν δέδοικεν οὐδ' ὁπωστιοῦν, ἀλλὰ ταῖς λοιδορίαις χαίρει. καὶ μέγα ἐπὶ τῷ προπηλακίζειν φρονεῖ, οὐ συνιεὶς Εὐριπίδου, τοτὲ μὲν αἰσχίστην λέγοντος νόσον τὴν »ἀκόλαστον γλῶτταν«, τοτὲ δ' »ἀχαλίνων στομάτων ἀνόμου τ' ἀφροσύνης τὸ τέλος δυστυχίαν«. ἀλλὰ περὶ μὲν τούτων ἤδη τε ἔδωκας δίκην τῆς ἀκολάστου σου γλώττης ἀπειληφὼς ἀξίας τὰς ἀμοιβάς, καὶ ἔτι δώσεις, ἐπειδάν σου καὶ τὰ λοιπὰ τερετίσματα διελέγξωμεν. νῦν δέ σου τὸν καλὸν λόγον ἴδωμεν.

23, 1 Μιχαῆλος. »Ποῖον γὰρ ἄλλο τουτουὶ τοῦ ἀξιώματος ἀληθέστερον ἢ σοφώτερον· τοῦ γὰρ μέρους τὸ ὅλον μεῖζον, καὶ οὕτω τὰ εἴδη τε καὶ τὰ γένη τῶν καθ' ἕκαστα μεῖζον οὐσία ἢ μᾶλλον;«

2 Ἀνδρόνικος. Καὶ πῶς ἀληθὲς ἢ σοφὸν τὸ μεῖζον τῷ μᾶλλον λέγειν ταὐτόν; L 112ᵛ τὸ μὲν γὰρ μεῖζον μεγέθους περὶ οὐσίαν, μεμεγεθυσμένης οὐσίας δηλαδὴ ἢ ὡς μεμεγεθυσμένης. τὸ δὲ μᾶλλον ποιοῦ περὶ οὐσίαν, πεποιωμένης οὐσίας δηλαδὴ ἢ ὡς πεποιωμένης. αὐτίκα τὸ δίπηχυ τοῦ πηχυαίου μεῖζόν φαμεν, οὐσίαν μεμεγεθυσμένην ἑτέρᾳ τοιαύτῃ παραμετροῦντες. καὶ τὸ γένος δὲ τοῦ εἴδους μεῖζόν φαμεν — ἐπὶ πλέον γὰρ τῷ γένει τις ἢ τῷ εἴδει ἀφορίζει — οὐσίαν ὡς μεμεγεθυσμένην ἑτέρᾳ τοιαύτῃ ἀντιπαρατιθέντες. τήν τε γὰρ ὕλην ἐκτείνεσθαι τῷ ποσῷ, τά τε καθόλου τῷ πολλὰ περιέχειν, οἷον ὅλ' ἄττα καὶ ἐκτεταμένα δοκεῖν. τὸ γὰρ καθόλου ὅλον τί ἐστι. πολλὰ γὰρ περιέχει ὡς μέρη τὸ καθόλου. τὴν δὲ χιόνα τοῦ γάλακτος μᾶλλον λευκήν φαμεν, πεποιωμένην οὐσίαν ἑτέρᾳ τοιαύτῃ παραβάλλοντες. καὶ τὸ εἶδος δὲ τοῦ γένους μᾶλλον οὐσίαν φαμέν, ὡς πεποιωμένην οὐσίαν ἑτέρᾳ τοιαύτῃ παραθεωροῦντες. πεποίωται γὰρ τὸ εἶδος τοῦ γένους μᾶλλον τῇ διαφορᾷ ποιότητι οὔσῃ. οὐσιώδει γε μὴν καὶ τοιοῦτον ἐνεργείᾳ ἐστίν, οἷον δυνάμει τὸ γένος. διὸ καὶ ὡς πεποιωμένην τὴν τοιαύτην οὐσίαν φαμέν, ἀλλ' οὐχ ἁπλῶς πεποιωμένην· οὐ γὰρ οὕτως B 23ᵛ ἡ διαφορὰ ποιότης ὡς συμβεβηκός. περὶ οὐσίαν γὰρ αὕτη τὸ ποιὸν ἀφορίζει οὐσιώδης οὖσα, καθ' ὑποκειμένων τε καὶ συνωνύμως κατηγορουμένη τῶν κατ' αὐτὴν ἀτόμων. ταῦτ' ἄρα λευκὸν μὲν λευκοῦ μᾶλλόν φαμεν, καὶ αὐτὸ ἑαυτοῦ ἧττον καὶ μᾶλλον λευκόν. ἄνθρωπον δὲ ἀνθρώπου μᾶλλον οὐ λέγομεν οὐδ' αὐτὸν ἑαυτοῦ μᾶλλον ἢ ἧττον ἄνθρωπον. ἐκείνοις μὲν γὰρ τὸ λευκὸν ποιὸν περὶ οὐσίαν συμβεβηκὸς ὄν, καθ' ὃ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχοιτο ἄν. τοῖς δὲ ἀνθρώποις ἢ ἀνθρώποις τί ἂν εἴη, καθ' ὃ τὸ μᾶλλον καὶ τὸ ἧττον ἂν ἐπιδέχοιντο; τὸ δὲ εἶδος τοῦ γένους μᾶλλον οὐσίαν φαμὲν διὰ τὴν διαφορὰν ποιότητά τινα οὖσαν, οὐσιώδη γε μήν. καθ' ἥν, ὡς εἴρηται, τὸ εἶδος τοιοῦτον ἐνεργείᾳ ὑπάρχει, οἷον τὸ γένος δυνάμει ἐστί. διὸ καὶ Ἀριστοτέλης τὸ μὲν

10 τερετίσματα] τερεττίσματα L τελεττίσματα B | 13 μεῖζον *scripsi* μείζων L B | 31 κατ' αὐτὴν L] B *om.* | 33 ἐκείνοις L ἐκείνης B

6 Eurip. Orest. 10. | 7 Eurip. Bacch. 386 sqq. | 11 Mich. Ap. Obiect. c. 6, 2. *(supra p. 168, 10—13)*

Ε.ΥΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποιόν φησιν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον τοῦ θ' ὅπερ ἐστίν, τὴν δὲ οὐσίαν τοῦ θ' ὅπερ ἐστίν, οὐκ ἐπιδέχεσθαι. οὐσίαν γε μὴν μᾶλλον οὐσίας εἶναι τίθεται. τὰς δὲ νοητὰς καὶ θείας οὐσίας, δι' ἃς ἔφαμεν πρότερον αἰτίας, πρώτας τε καὶ κυριωτάτας καὶ μάλιστα οὐσίας φαμέν. τὸ δίπηχυ δὲ τοῦ πηχυαίου μᾶλλον οὐδείς φησιν. οὐδὲ τοδὶ τὸ λευκὸν τουδὶ τοῦ λευκοῦ μεῖζον, εἰ μὴ κατὰ συμ- L 113
βεβηκός, ὅτι συμβέβηκε τῷ λευκῷ καὶ ποσῷ εἶναι.

3 Τούτων οὕτως ἐχόντων ἴδωμεν, τί Μιχαῆλός φησιν. οὐκ αἰδεῖται, φησί, »τὸ καθόλου τοῦ κατὰ μέρος μεῖζον τιθέμενος«, τὰ καθ' ἕκαστα μᾶλλον οὐσίας τῶν καθόλου λέγων, αὐτὸς ἁπάντων ἀναιδέστατος ὢν καὶ βιαζόμενος οὕτως ἀνέδην τὸ μεῖζον τῷ μᾶλλον ταὐτὸν λέγειν, δέον λόγῳ αἱρεῖν, ἀλλὰ μὴ βιάζεσθαι, καὶ ταῦτα ἐφ' οὕτω φανεροῖς, ἐφ' οἷς κἂν παῖδες αὐτὸν ῥᾷστα ἐξαπατῶντα φωράσαιεν. ἔπειτα ὥσπερ οὐκ ἀρκεσθεὶς ταῖς κατὰ Θεοδώρου λοιδορίαις, ἀλλ' εἰ μὴ πάντες τῆς πρὸς ἐκεῖνον αὐτοῦ βασκανίας ἀπολαύσαιεν δεινὸν ἡγούμενος, λοιδορεῖται καὶ Λατίνοις καὶ μάλα ἰταμῶς, ψελλίζοντας αὐτοὺς ὀνομάζων καὶ διεντερευμάτων ξυγκολλητάς, αὐτὸς ὢν ὁ τῷ ὄντι B 24
ψελλιζόμενος καὶ σπερμολογῶν ἔνθεν κἀκεῖθεν καὶ ξυγκολλῶν κἀκεῖνα κακῶς. ἐπιστήμης τε γὰρ ἀποδέδεικται παρὰ πάντα τὸν λόγον μηδ' ὁπωσοῦν ἐπαΐων. περί τε γραμματικῆς κἂν παῖδες ἐλέγξαιεν τὰ ἁμαρτήματα, οὕτως ἐπὶ φανεροῖς ἁμαρτάνει.

4 Ὅλη τε ἡ τοῦ λόγου μεταχείρησις κακόζηλός τε καὶ λίαν εὐήθης καὶ μετέχουσα δεινότητος οὐδ' ὁπωστιοῦν. καὶ ἐν οἷς μὲν οὐ δεῖ, παρὰ τοῦ δέοντος ἀδολεσχεῖ καὶ τὰς ἀκοὰς ἀποκναίει ἀπολόγους Ἀλκίνου διεξερχόμενος· ἐν δὲ τοῖς καιρίοις ἀμήχανος, ἄφωνος. καὶ δοκεῖ μὲν μέγα τι κυεῖν, ἀποκυεῖ δ' οὐδὲν ἢ μικρόν, ἥ τε ἀγγελία ὑποχάσκουσά τις καὶ κρημνοποιὸς καὶ τὸ ἀηδὲς καὶ ψυχρὸν κατακόρως ἔχουσα καὶ οὐχ οἵα ῥᾳστώνην τοῖς μετιοῦσιν οὐδεμίαν ποιεῖν. Λατίνους δὲ ἐν μὲν τῇ σφετέρᾳ αὐτῶν φωνῇ κατὰ μὲν τὸ ἔμμετρον εἶδος τοῦ λόγου Πλάτων, εἰ παρῆν, ἐνθέους ἂν εἶπε καὶ κατεχομένους ἐξ αὐτῶν τῶν Μουσῶν κἀκεῖθεν ἀπὸ τῶν ἐκείνων μελιρρύτων κρηνῶν καὶ ναπῶν δρεπομένους τὰ μέλη φέρειν ἡμῖν, ὡς καὶ ἁμιλλᾶσθαι ἂν Μάρωνι τῷ θείῳ ποιητῇ. ἐν δὲ τῷ καταλογάδην πανδήμους ἄν τις ἴδοι καὶ πιθανοὺς καὶ πολύνους καὶ οἵους θυμόν τε ἐγεῖραι καὶ ὀργὴν πραῦναι καὶ οἶκτον ἐπισπάσασθαι καὶ λόγους δημοτελεῖς συνθεῖναι καὶ μετὰ παρρησίας εἰπεῖν, πολὺ τὸ τερπνὸν καὶ ἐπαγωγὸν ἔχοντας, καὶ οὐ μόνον παῦρά τε καὶ μάλα λιγέως, ἀλλὰ καὶ L 113v
διοσημείοις ἔσθ' ὅτε λέγοντας ἐοικότα, ὡς μηδ' ἂν παραχωρήσαιεν τῷ σοφωτάτῳ Κικέρωνι.

5 Τὰς δ' ἐπιστήμας ἁπάσας καὶ τὰς μεθόδους τῶν λόγων οὕτω τοι λίαν ἠκρίβωσαν, ὡς μηδὲ τοῖς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη, εἰ περιεῖεν ἐκεῖνοι νῦν, παραχωρῆσαι ἂν ὁπωσοῦν. ἓν γὰρ οὐδὲν ὃ μὴ εὕρηταί τε αὐτοῖς ἀκριβῶς καὶ μέχρι τῶν λεπτοτάτων διηρεύνηται. καὶ εἰ παρῆς ἐνταῦθα καὶ συμπλακῆναι

3 ἔφαμεν B ἔφημεν L | 15 διεντερευμάτων L διοντερευμάτων B | ξυγκολλητάς L ξυγκολητάς B | 16 ξυγκολλῶν L ξυγκολῶν B | 30 πανδήμους *scripsi* πανδείμους B πανδείνους? L | 32 τερπνὸν καὶ ἐπαγωγὸν L ἐπαγωγὸν καὶ τερπνὸν *trp.* B | 36 ἁπάσας . . . οὕτω τοι L] B *om.*

Ε.Υ.Δ. ΤΦΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐβούλου τοῖς Κρονικοῖς σου τουτοισὶ λόγοις θαρρήσας καὶ τρυγὸς τῷ ὄντι
B 24v ἀπόζουσι, παῖδες σε νεήλυδες εὐθὺς ἐκ πρώτης ἐκβολῆς κάνθαρον, οὐκ ἄνθρωπον ὄντα ἐξήλεγξαν ἄν. ἡ μὲν οὖν σφετέρα αὐτῶν φωνὴ οὕτω τοι δι' ἀκριβείας σφίσι κατώρθωται. ἤσκηνται δὲ καὶ τὴν ἡμετέραν καλῶς, ὅσοις αὐτῶν πρὸς τῇ σφετέρᾳ καὶ τήνδε μεμέληκε κτήσασθαι, ὡς δὴ καὶ τοὺς ὥσπερ σὺ τὴν Ἑλλάδα ἐπισταμένους φωνὴν μακρῷ παρευδοκιμεῖν. τοῖς μὲν γὰρ τοῖς τῶν παλαιῶν μετ' ἐπιμελείας συνοῦσι συγγράμμασι, τῶν περὶ Δημοσθένη καὶ Ἰσοκράτη φημί, καὶ τῶν ἐκείνων ῥημάτων τε καὶ νοημάτων ἐμφορουμένοις δαψιλῶς συμβαίνει μήτε ὀνομάζοντας πλημμελεῖν τοῖς ἐκείνων χρωμένους ὀνόμασι, κἂν ταῖς συνουσίαις εὐστόχως πρὸς τοὺς λόγους ἀπαντᾶν τοῖς ἐκείνων καθάπερ κανόσι χρωμένους νοήμασιν, εὐπορίαν τε τοῦ λέγειν οὐκ ὀλίγην αὐτοὺς κεκτῆσθαι, τοὺς τῶν παλαιῶν ἐκμανθάνειν λόγους καὶ ἐκμελετᾶν ὅτι μάλιστα ποιουμένους μετὰ σπουδῆς.

6 Αὐτῷ δέ σοι οὐδένων ἄλλων σχεδὸν ἢ τοῖς Λιβανίου συγγράμμασιν ἐντετυχηκότι κατ' αὐτὸν ἀνάγκη καὶ ὀνομάζειν καὶ τοῖς νοήμασι χρῆσθαι, πρὸς δὲ τὰ τῶν παλαιῶν ὄνον τὸ τῆς παροιμίας πρὸς λύραν διατελεῖν. καὶ οὔπω λέγω, ὅτι οὐδ' ἐν τοῖς ἐκείνου εὐδοκιμεῖς, ἀλλὰ καὶ ἐκπίπτεις πολλάκις καὶ καταθραύεις, ὃν εἰσήεις, ὥσπερ οἱ μαλακοὶ τῶν ὑποκριτῶν τοὺς ἥρωας, οὓς ὑποδύονται. ἢν δέ ποτε καὶ δεήσῃ βραχέ' ἄττα ἐξ ὑπογύου εἰπεῖν, διὰ τὸ ὑπ' ἀναλγησίας ἀεὶ διατελεῖν ἀμελέτητον ἄφωνος εὐθὺς γίγνῃ, ῥημάτων οὐδ' ὀλίγων οὐδ' ὁπωστιοῦν εὐπορῶν. τίσι δὲ καὶ ἐντυχὼν τῶν Λατίνων, ὦ βδελυρέ, καὶ γνοὺς ἀπείρους τῶν Ἀριστοτελικῶν συγγραμμάτων, κατη-
L 114 γορεῖς αὐτῶν ὡς ἀπ' ἁμάξης βοῶν, ὅτι οὐκ ἴσασι τὰ συγγράμματα; εἰ δὲ Πυθαγόρας ἦσθα ἢ Πλάτων ἢ Ἀριστοτέλης αὐτός, ἀλλὰ μὴ ἐπίτριπτον κίναδος, γαστρὶ δουλεῦον, ἀμαθέστατον ἀνθρώπιον, τί ἂν ἐποίεις;

7 Ἐκεῖνο δέ σε καὶ μάλα οὐδ' ὁπωστιοῦν ἑλληνικῆς μετασχόντα παιδείας ἐλέγχει, ἐφ' οἷς Θεόδωρον φῂς παρὰ Λατίνων εἰληφότα λέγειν τὸ μεῖζον
B 25 διαφέρειν τοῦ μᾶλλον, ὡς δὴ μὴ τοιαύτην καὶ τοῖς Ἕλλησιν οὖσαν τὴν χρῆσιν, καὶ ὡς ἔοικεν, ὅσα αὐτὸς οὐκ οἶσθα, τῆς ῥωμαϊκῆς εἶναι νομίζεις φωνῆς. πλεῖστα οὖν πίστευσόν μοι καὶ κάλλιστα διαγράψεις· σχεδὸν γὰρ οὐδ' ὁτιοῦν οἶσθα. εἶτα ἐρωτᾷ, τίνα τῶν γραμματικῶν ἢ φιλοσόφων πεφώρακας τὸ μεῖζον καὶ μᾶλλον λέγοντα διαφέρειν. ἡμεῖς δὲ ἀντερωτήσομεν αὐτόν, τίνα πεφώρακεν αὐτὸς τὸ μεῖζον καὶ μᾶλλον ταὐτὸν λέγοντα. εἰ δέ τις ἢ καταχρώμενος ἀντὶ θατέρου θάτερον ἔλαβεν, ἢ καὶ τῶν λογοποιῶν τις οὕτως ἐχρήσατο, οἷς οὐ τοσοῦτον πρὸς ἀλήθειαν, ὅσον πρὸς ἡδονὴν καὶ κάλλος λέγειν μεμέληκεν, ἀλλ' οὐ λογοποιὸν ἡμεῖς εὐθύνομεν νῦν. ἀλλ' ἃ περὶ Ἀριστοτέλους Πλήθων ἀξιοῖ, ταῦτα καὶ ἡμῖν ἀξιοῦσι περὶ αὐτοῦ συγχωρείτω. φησὶ γοῦν Ἀριστοτέλη εὐθύνων οὐ ῥήτορα εὐθύνειν, ἀλλ' ἄνδρα τὴν τῶν ὄντων ἐπιστήμην ἐπαγγελλόμενον. καὶ Θεόδωρος οὖν Πλήθωνα εὐθύνων οὐ ῥήτορα εὐθύνει, ἀλλ' ἄνδρα τὴν τῶν ὄντων ἐπιστήμην ἐπαγγελλόμενον καὶ πρὸς Ἀριστοτέλη τετολμηκότα νεανιεύσασθαι. ἀλλὰ καὶ Ἀριστοτέλης, φησίν, ἀδιαφόρως τὸ μεῖζον καὶ μᾶλλον

2 ἐκβολῆς B εἰσβολῆς L | 18 καταθραύεις B καταθρήνεις? L

31 cf. Mich. Ap. Obiect. c. 6, 3. *(supra 168, 25—28)*

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006